# ΕΠΤΑΔΙΚΑΙ ΕΡΕΥΝΑΙ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

> *Hic est numerus qui hominem concipi formari edi vivere ali ac per omnes aetatum gradus tradi atque omnino constare facit.*
>
> (Macrobius, Somn. Scip. I 6).

## Α΄ ΣΥΓΚΡΙΣΙΣ ΚΑΙ ΕΠΙΤΑΣΙΣ

Τὴν τῆς ψυχῆς ἡμῶν κατάστασιν σφόδρα διάφορον ἑκάστοτε εἶναι ἐκφερομένων ἐπιθέτων οὐσιαστικὰ διοριζόντων, παρὰ πάντων ὁμολογεῖται. Ἢ γὰρ μόνον τῷ οὐσιαστικῷ τὸ ἐπίθετον παράκειται ποιότητά τινα ἐκείνου ἁπλῶς μηνῦον, ἢ σύγκρισις γίγνεται ποιότητός τινος ἐν δυσὶ ἢ καὶ πλείοσι ὁμοιογενέσι δὲ οὐσιαστικοῖς ἐνούσης, ἢ τέλος ταύτην σημαίνομεν κατ' ἐπίτασιν εἰς τὸ ἀκρότατον ἐν συγκρίσει ὑπάρχουσαν. Τούτοις που τοῖς τρόποις ἡ Ἑλληνικὴ γλῶσσα ὡς ἐπὶ τὸ πολὺ χρῆται ἐν τῇ ἐκφορᾷ τῆς τῶν ἐπιθέτων ποιότητος [1].

Ἵνα δὲ καὶ τῶν ὅρων ὧν νῦν ἐστι χρῆσις μνημονεύσωμεν, ἔχομεν ἁπλῶς εἰπεῖν ἐπίθετα θετικά τε καὶ συγκριτικὰ καὶ ὑπερθετικά. Διαφόρου δ' ὡς εἰκὸς οὔσης τῆς τῶν τριῶν τούτων τρόπων χρήσεως, ἀλλ' ὅμως εὕρηνται πολλάκις, εἰ καὶ μετά τινος ὀρθοῦ μὲν καὶ εἰκότος λανθάνοντος δ' ὡς εἰπεῖν λόγου, συγκριτικὰ μὲν ἀντὶ θετικῶν (Ὁμ. Ὀδ. ρ 176 οὐ μὲν γάρ τι *χέρειον* ἐν ὥρῃ δεῖπνον ἑλέσθαι.

[1] Ἐν ἄλλαις γλώσσαις τοῦτο ὀξύτερόν τε καί πως εὐστοχώτερον δηλοῦται. Αὐτίκα ἐν τῇ Ἰταλικῇ γλώσσῃ λέγεται 1) **bello**, 2) **più bello**, 3) **molto bello**, 4) **belissimo**, καὶ 5) **il più belissimo**.

Ε.Φ.Δ.Ε.Ε.Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Πλατ. Θεαίτ. 177. c ἐμοὶ μὲν τὰ τοιαῦτα οὐκ *ἀηδέστερα* ἀκούειν. Ξενοφ. Ἑλλ. Ε' 2, 9 ***νεωτέρων*** (=νέων) τινὲς ἐπεθύμουν πραγμάτων) ἢ καί πως καὶ τἀνάπαλιν (Πλάτ. Πολιτ. 373, d καὶ ἡ χώρα που ἡ τότε ἱκανὴ τρέφειν τοὺς τότε, *σμικρὰ* δὴ ἐξ ἱκανῆς ἔσται. Ξενοφ. Ἀπομν. Γ' 13, 3 τὸ ὕδωρ ***ψυχρόν***, ἔφη, ἐστὶν ὥστε λούσασθαι), πρὸς δὲ καί τινι ἀναμείξει ἢ «συμφυρμῷ» συγκριτικὰ ἀντὶ ὑπερθετικῶν (Ὁμ. Ὀδ. γ 362 οἶος γὰρ μετὰ τοῖσι *γεραίτερος* εὔχομαι εἶναι· η 156 ὃς δὴ Φαιήκων ἀνδρῶν *προγενέστερος* ἦεν), καὶ τέλος ὑπερθετικὰ ἀντὶ συγκριτικῶν (ὡς τὸ Σοφόκλειον ἐκεῖνο. Ἀντιγ. 100. «ἀκτὶς ἀελίου *τὸ κάλλιστον* ἑπταπύλῳ φανὲν Θήβᾳ ***τῶν πρότερον*** φάος») [1]. Ἀλλ' ἔστιν ὅτε ταύτην τὴν ἰσχυροτέραν ἢ ἀσθενεστέραν τοῦ ἐπιθέτου ἐπίτασιν, ἣν εἰς τοὺς τρεῖς λεγομένους βαθμοὺς διαιροῦμεν, αἱρεῖταί τις οὐ καταλήξει τινὶ ἀλλὰ λέξεως ἐπιτατικῆς συνθέσει δηλῶσαι [2]· ταύτῃ δ' ἑκάστοτε ἰδία τις δύναμις ὑπόκειται. Διδασκόμεθα δὲ τοῦτο τοιαύταις συνθέσεσιν οἷαι αἱ ἑπόμεναι [3]·

[1]) Περί τινων ἄλλων χωρίων ὡς τοῦ Ὁμηρ. Ἰλ. Ζ 95 «ἀστὴρ δ' ὣς ἀπέλαμπεν (τ. ἔ. ὁ πέπλος). ἔκειτο δὲ ***νείατος ἄλλων***» Α. 505 «τίμησόν μοι υἱόν, ὃς ***ὠκυμορώτατος*** ἄλλων» Ὀδ. ε 105 «φησί τοι ἄνδρα παρεῖναι ***ὀϊζυρώτατον*** ἄλλων» διαλαμβάνει ὅ τε *Kvicala* ἐν ZÖ Gymn. 1858, 529 ἑξ. καὶ ὁ *Delbrück* ἔνθ. ἀν. σελ. 411, ὃς τὴν γενικὴν ***ἄλλων*** ὑπολαμβάνει ὡς τὰ τῆς ***ἀφαιρετικῆς*** τελοῦσαν, κατὰ δὲ τὸ ***νειάτος ἄλλων*** ἐλέγχθησαν καὶ τὰ ἄλλα παραδείγματα. — Πρβλ. περὶ τῶν παραθετικῶν καὶ ***Γ. Ν. Χατζιδάκιν*** ἐν Γενικ. Γλωσσ. σελ. 197, καὶ περὶ τῶν συγκριτ. καταλήξεων (τ)ερο- (τ)ερα- *Brugmann - Delbrück*, Grundr. der vergl. Grammat B' 1, σελ 177 ἑξ.

[2]) Οὕτως ἑρμηνεύεται τίνος ἕνεκα πολλαὶ γλῶσσαι στεροῦνται τοῦ λεγομένου ὑπερθετικοῦ βαθμοῦ τῶν ἐπιθέτων· ἰδὲ *B. Delbrück*, Vergleichende Syntax der indogerm. Spr. τόμ. Α' ἐν Στρασβούργῳ, 1893, σελ. 411 ἑξ. Ἐν τισι δὲ πάλιν γλώσσαις οὐχ εὕρηνται τὰ θετικὰ πολλῶν συγκριτικῶν καὶ ὑπερθετικῶν ἐπιθέτων, τῆς συγκριτικῆς (ασγετικῆς») τῶν ἐννοιῶν αὐτῶν χρήσεως ἀρχαιοτέρας οὔσης τῆς ἀπολύτου. Ἰδὲ *Delbrück* ἔ. ἀν. σελ. 414. Πρβλ. καὶ τὰ παραθετικὰ τοῦ **ἀγαθὸς** ἐν τῇ ἀρχαίᾳ γλώσσῃ.

[3]) Πρβλ. περὶ τούτου καί: *Weihrich*, De gradibus comparationis linguarum sanscritae, graecae, latinae, gothicae. Gissae, 1869. *Fr. Mayer*, Verstärkung, Umschreibung und Erweiterung der Komparationsgrade Programm. Landau, 1891. *O. Schwab* Historische Syntax der griech. Comparation in der klassischen Literatur. 1-3 Hefte. Würzburg, 1893-95. (ἰδ. Γ' 164 ἑξ.) – *Fr Abert*, Die Komparationsgrade bei Homer und den Tragikern. Programm 1885 6 Neuburg a. D. Ἐν τῷ τελευταίῳ τούτῳ βιβλίῳ, σελ. 2, εὕροι ἄν τις καὶ ἄλλην βιβλιογραφίαν μικροτέρου λόγου ἀξίαν.

**(πολὺ)** *πολύκαρπος*, πολύπικρος, πολύσεμνος, πολύστονος, πολύφαυλος·

**(ἄγαν)** *ἀγακλεής*, ἀγάφθεγκτος·

**(πᾶν)** *πάμμεγας*, πάγκαλος, πανάξιος, πανεπίθυμος, πάνσοφος, πάλλευκος, παμπλήρης, παμπλούσιος, πάνσεμνος, πανάνυτος [1]·

**(ἄκρος)** *ἀκρομανής*, ἀκρόθερμος, ἀκροπενθής [2]·

**(ζα διά-)** *ζάθεος*, ζάπλουτος, ζάλευκος, ζαπληθής, διάμεστος, διακορής, δίυγρος·

**(αρι- ερι-)** *ἀρίγνωτος*, *ἀρίδηλος*, *ἐρίδηλος*, *ἐρίφυλλος*·

Εἶτα δ' εὑρίσκομεν τὰ *διπλᾶ* λεγόμενα *σύνθετα*

*πολυπάνσοφος*, *πολυπάμφαος*,

τὰ *παμμέγιστος*, πανάριστος, παγκάκιστος, πάμπρωτος,

τὰς προθέσεις ***περὶ*** καὶ ***ὑπὲρ***

*περίκακος*, περίβαρυς, περίθερμος, περίκλειτος, περίεφθος, περίζηλος [3] κτλ.

*ὑπέρκαλος*, ὑπέρβαρυς, ὑπέρθεος, ὑπέροξυς, ὑπέρφιλος, ὑπέρλευκος, καὶ δὴ καὶ ὑπερήδιστος [4]).

Ἢ ἐπιτείνονται τὰ τοιαῦτα ἐπίθετα δι' ἐπιρρημάτων οἷα τὰ *μέγα* (Ὁμ. Ἰλ. Α, 158 «*μέγ' ἀναιδές*», Ὀδ. ι. 44 «*μέγα νήπιος*», φ. 266 «*μέγ' ἔξοχος*». Ἡροδ. Α' 32 «*μέγα πλούσιος*», ς', 25 «*μέγα ὄλβος*»).

---

[1] Ὁ Ἀριστοφάνης ἐν Βατρ. 466 εἶπε «καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε».

[2] Ἐν παραδρομῇ εἰρήσθω ἐνταῦθα ὅτι ἡ ἐν τῇ καθ' ἡμᾶς φωνῇ σημασία τῆς λ. *ἄκρος* (*ἀκρομεθυσμένος*, *ἀκρονυστάζω* = ὀλίγον τι μ., ὀλίγον τι ν. *ὑπονυστάζω*, κττ.) ἤδη ἐν τῇ παλαιᾷ γλώσσῃ τὴν ἀρχὴν λαμβάνει. Πρβλ. το τοῦ Διοσκ. Ζ. 116 **ἀκρόζεστος**, τὸ τοῦ Γαλην. (ΙΓ', 517) **ἀκρόζυμος**, καὶ (ΙΒ', 97) **ἀκροχλίαρος**, τὸ **ἀκρομέθυσος** (Σχολ. εἰς Ἀριστοφ. Αχ. 1132) τὸ παρ' Ἀθην. 119 α **ἀκρόπαστος** κτλ.

[3] Πρβλ. καὶ τὸ ἐπίρρημα ***πέρι*** ἐπιτεῖνον τὸ θετικὸν παρ' *Ὁμήρῳ* *Ἰλ.* Ι, 53 «Τυδείδη, *πέρι* μὲν πολέμῳ ἔνι καρτερός ἐσσι» καὶ Π, 186. Κ, 244, Ὀδ. γ. 95. 112, 9, 281 κτλ. Περὶ τῆς διφορουμένης γραφῆς ***περί-πέρι*** ἰδ. ***Lehrs***. Quaest. Ep. 90 καὶ 97. *La Roche*, Homer. Textkritik 337—341. *Cauer*, Praef. Od. σελ. 33 καὶ Il. σελ. 43 ἀλλὰ «κατὰ Ἀρίσταρχον ἀναστρεπτέον τὴν πρόθεσιν» Ρ, 240.

[4] Πρβλ. καὶ τὰ τῶν Ῥωμαίων ***perparvus***, peraltus, perceler, perlongus, *praealtus*, praeceler, -longus, -nimis, καὶ δὴ καὶ *perdulcissimus*, praeclarissimus, praenobilior, praeclarior. Ἰδ. *Weihrich* De gradibus σελ. 102 καὶ ἑξῆς.

***πάνυ*** (*Θουκ.* Β' 49 «ὥστε μήτε τῶν πάνυ λεπτῶν ἱματίων τὰς ἐπιβολὰς ἀνέχεσθαι»),

***κάρτα*** (*Ἡροδ.* Δ', 41 κ. πλατέα, ϛ', 209 κ. ἄπιστα),

***πολύ, πολλόν, λίαν*** (λίην), ***πάντα*** (*Σοφ.* Αἴ. 1415 «ὁ π. ἀγαθός», Ἠλ. 301 «ὁ πάντ' ἄναλκις», Οἰδ. Τ. 1197 «ὁ π. εὐδαίμων, ὄλβιος». *Αἰσχ.* Πέρσ. 980 «τὸν σὸν *πιστὸν πάντ'* ὀφθαλμόν»),

***πάμπαν*** (*Ὁμ.* Ὀδυσ. υ, 140 π. οἰζυρός),

***πάντως*** (Ὕμν. Ἀπολλ. 19 «πῶς ἄρ' σ' ὑμνήσω *πάντως εὔυμνον* ὄντα»),

***περισσῶς*** (περισσά), ***ἰσχυρῶς, δεινῶς*** [1]) (*Ἡροδ.* Β' 32 «δ. ἄνυδρος». Δ. 68 «μέλαινα δ. (ἡ ἶβις»),

***αἰνῶς*** (*Ἡροδ.* Δ' 52 «[ὁ Ὕπανις ποταμὸς] *πικρὸς αἰνῶς*» πρβλ. καὶ Ἰλ. Γ, 158. Ὀδ. ρ, 24, Ὕμν. Ἀπόλλ. Δήλ. 64 κτλ.),

***τελέως, καλῶς, θαυμαστῶς, θαυμασίως ὡς, ὑπερφυῶς, ἰσχυρῶς*** «χαράδρα *ἰσχυρῶς βαθεῖα* (*Ξενοφ.* Ἀναβ. Ε' 2, 3. ἴδ. καὶ Α' 2, 21. Ζ' 7, 15),

***διαφερόντως*** (*Θουκυδ.* Α' 138, 3 «ὁ Θεμιστοκλῆς ἦν *διαφερόντως* ἄξιος θαυμάσαι»), ***ὑπερβαλλόντως, ἐπιεικῶς, ἀτεχνῶς, καλῶς, σφόδρα*** [2]).

---

[1]) Πρβλ. τὰ τῆς νεωτέρας Ἑλληνικῆς γλώσσης *φοβερὰ μαῦρος, φοβερὰ πικρός*, κτλ.

[1]) Ἐν τῇ νεωτέρᾳ Ἑλληνικῇ γλώσσῃ ἡ τοῦ θετικοῦ ἐπίτασις ἐκφέρεται πολλάκις ἐπαναλαμβανομένου ἁπλῶς τοῦ θετικοῦ, ἀλλ' οὐχὶ προκειμένου περὶ ἐπιθέτων ψόγον τινὰ δηλούντων. Οὕτω τοίνυν λέγεται νῦν ***καλὸς-καλὸς ἄνθρωπος***, *βαθειὰ-βαθειὰ* ἢ ***καλὰ-καλὰ νὰ σκάψῃς***, κτλ. (ἀλλ' ὅμως ***βράδυ-βράδυ*** (πάμε περίπατον), οὐ τὴν βαθεῖαν ἑσπέραν ἀλλὰ τὸν περὶ τὴν ἑσπέραν που χρόνον δηλοῖ). Καὶ ἔχομεν μὲν τὸ ***Ἀριστοφαν.*** Ἱππ. 1155 ***πάλαι-πάλαι*** καὶ ἐν τῇ Ῥωμαϊκ. γλώσσῃ τὸ παρὰ τῷ χριστιανῷ ποιητῇ Κομμοδιανῷ **instruct. 2, 24 8 malus malus** («**largiri vis, ut te quasi malum malum depurges**» τὸ παρὰ ***Σενέκᾳ*** **de vita beata 7, 4 quia semper semper secuta est** θεωρεῖται νόθον) ἀλλὰ τὰ παραδείγματα ταῦτα ἀσθενῆ καὶ ἐλάχιστά εἰσιν ἵνα τὸ πρᾶγμα εἰς τὴν παλαιὰν γλῶσσαν ἀναγάγωμεν. Πρόσθες τούτοις ὅτι οἱ ἀντιγραφεῖς ἀντὶ τῶν τυχὸν διπλῇ φερομένων λέξεων τὴν μίαν μόνον ἁπλούστερον ἔγραφον, τὴν ἐπανάληψιν σφάλμα ὑπολαμβάνοντες. Ὑποληπτέον τοίνυν τοῦτο ἴδιον τῆς Ἑλληνικῆς Χριστιανικῆς Γραμματείας, καὶ δὴ Ἑβραϊσμὸν (οἱ Ἑβραῖοι ἐπαναλαμβάνουσι τὸ θετικὸν εἰς ἐπίτασιν τῆς δυνάμεως τῆς ἐννοίας αὐτοῦ) ὁρμηθέντα ἐκ τῆς ἐν ***Συρίᾳ*** καὶ τοῖς περὶ αὐτὴν λαλουμένης Ἑλληνικῆς γλώσσης. Σημειωτέον δ' ὅτι οἱ Ἑβδομήκοντα τὸ παρὰ ***Σολομ.*** Ἐκκλησ. 7, 25 **āmok āmok** ἑλληνιστὶ μετέγραψαν ***βαθὺ βάθος***, καὶ οὐχὶ βαθὺ-***βαθύ***. Γνωστότατον εἶναι τὸ ἐκκλησιαστικὸν ᾆσμα «Ἅγιος, ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς» κτλ.

## Β'. ΑΡΙΘΜΗΤΙΚΩΝ ΤΙΝΩΝ (ΤΡΙΑ, ΠΕΝΤΕ) Η ΕΝ ΤΗι ΓΛΩΣΣΗι ΧΡΗΣΙΣ

'Αλλὰ πλὴν πάντων τούτων τῶν ἐπιτατικῶν τρόπων ἐν τῇ ἐκφορᾷ ἐπιθέτου τινὸς ὃ αὐτὸ καθ' ἑαυτὸ παράκειται οὐσιαστικῷ τινι ἄνευ ἀναφορᾶς καὶ πρὸς ἕτερον οὐσιαστικὸν ἢ πρὸς πάντα τὰ ὁμοιογενῆ οὐσιαστικά, γιγνώσκομεν καὶ ἄλλον τινὰ συνήθη τρόπον ἐπιτάσεως τοῦ ἐπιθέτου. Οὗτος δ' ἐστιν ἡ παράθεσις ἢ καὶ ἡ σύνθεσις αὐτοῦ ὡρισμέναις λέξεσι προδηλοτέραν σημασίαν ἐχούσαις καὶ ἐπιτηδειοτάταις πρὸς τὴν τῆς σημασίας ἐπίρρωσιν. Οὕτω δὲ τὸ θετικὸν ἐπίθετον ἐπιτείνεται εἰς δύναμιν ὑπερθετικοῦ [1]).

Τοιαῦται λέξεις εἰσὶ τὰ ἀριθμητικὰ καὶ δὴ πάντων μάλιστα τὰ **τρία, (πέντε), ἑπτὰ** καὶ **ἐννέα**. Ἤδη δὲ πάντες που οἱ περὶ ταῦτα διατρίβοντες ἴσμεν *Ὅμηρον* τὴν νύκτα ***τρίλλιστον*** ἐπονομάζοντα

---

Παραβλητέα καὶ τὰ 'Ιταλικὰ **un ragazzo piccolo piccolo, ratto ratto** κτλ. ὧν ἡ ἀρχὴ οὐχὶ εἰς τὴν Λατινικὴν γλῶσσαν ἀνακτέα (στεροῦνται δὲ τοῦ τρόπου τούτου αἱ ἄλλαι ῥωμανικαὶ γλῶσσαι, ὡς ἐρωτήσας ἔμαθον) ἀλλὰ μᾶλλον ἑρμηνευτέα ὡς ἰδία γένεσις τῆς 'Ιταλικῆς γλώσσης.

[1]) Παρὰ τοῖς ποιηταῖς, μάλιστα δὲ τοῖς τραγικοῖς, τὰ ὑπερθετικὰ ὑπερθετικοῖς πάλιν ἐπιρρήμασιν ἐπιτείνονται εἰς ἔνδειξιν ὑψίστης ἐντάσεως, πάθους κτλ. Μνημονεύω ἐνταῦθα τοῦ 'Ομηρικοῦ 'Ιλ. Β, 220 «μάλιστα ἔχθιστος» καὶ τοῦ Σοφοκλείου Οἰδ. Κ. 743 «πλεῖστον κάκιστος» καὶ τοῦ Εὐριπ. Μηδ. 1323 «ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι | θεοῖς τε κἀμοὶ παντί τ' ἀνθρώπων γένει» πρβλ. καὶ ὑπερθετικὰ οἷα τὰ *ἀξιαγαπητότατος βαρυσυμφορώτατος, μακροβιώτατος, πολυτελέστατος, πολυανθρωπότατος μισοδημότατος, μισοχρηστότατος*, κτλ. πρὸς τούτοις δὲ καὶ τὰ ***μονώτατος, ἑταιρότατος***, καὶ τὸ κωμικὸν ***αὐτότατος***, τὸ ***ipsissimus*** τοῦ Πλαύτου. κτλ. Πρὸς δὲ καὶ τὰ διπλᾶ ὑπερθετικὰ ***ἐλαχιστότατος*** (*Σέξτ. 'Εμπειρ.* πρὸς Φυσικοὺς Θ'. 406 «τὴν κατάληξιν τῆς νοήσεως ἐν ἐλαχιστοτάτῳ γενέσθαι πλάτει»). *μεγιστότατος*, ***καλλιστότατος***, καὶ τὰ τῶν Ῥωμαίων ***minimissimus, postremissimus.*** Περὶ τοῦ ***πρώτιστος*** ἰδ. ***Lobeck*** ἐν Φρυνίχῳ σελ. 419. Πόσον δὲ ἡ τοῦ ὑπερθετικοῦ σημασία ἀμαυροῦται πολλάκις ἁπλῶς τούτου τῷ θετικῷ ἰσοδυνάμου γιγνομένου, δείκνυσιν ἐν πολλοῖς παραδείγμασιν ἥ τε 'Ελληνικὴ γλῶσσα καὶ ἡ Λατινική· μνημονεύω τοῦ λατ. ***optimus***, ὅπερ οὐδὲν ἄλλο ἐν τῷ **optimae artes** δύναται ἢ **bonus** (αἱ καλαὶ τέχναι) καὶ τοῦ ***maximus***, ὃ παρὰ ***Κικέρωνι*** **pro Marc. 11** εὕρηται· «***maximas tibi*** **omnes** ***gratias agimus***, **C.Caesar,** ***maiores*** **etiam habemus**»· ἔνθα ὅρα τὴν παράδοξον τοῦ παραθετικοῦ θέσιν τε καὶ σύνδεσιν.

ΙΩΑΝΝΙΝΑ 2006

(Ἰλ. Θ. 488 «Ἀχαιοῖς ἀσπασίη *τρίλλιστος* ἐπήλυθε νὺξ ἐρεβεννή»[1]), νειὸν δέ, τοῦτ᾿ ἔστι τὴν χέρσον, *τρίπολον* (Ἰλ. Σ. 542 κτλ.) καὶ τὴν τρυφάλειαν *τρίπτυχον* (Ἰλ. Λ. 353), οὐ μάλα τῷ ἀριθμῷ τῶν πτυχῶν τὸν νοῦν προσσχόντα, τὸ πλῆθος δὲ καὶ τὴν ἐξ αὐτοῦ ἰσχὺν δηλῶσαι βουλόμενον. προβλ. *τριβάρβαρος* («ζηλώσαντας Εὐριδίκην, ἥτις Ἰλλυρὶς οὖσα καὶ τριβάρβαρος» *Πλουτ.* Ἠθικ. 14 Β), *τρίβαφος* (τραβέα, *Ἰωάνν. Λυδ.* περὶ μην. 1, 19). *Σοφοκλῆς* δὲ *τρίδουλον* εἶπε «τὸν ἐκ προγόνων δοῦλον» ὅπως *Εὐστάθιος* ἡμῖν παραδίδωσι (725, 10)[2]). Καὶ τί χρὴ πλειόνων ἔνθα ὁ αὐτὸς *Εὐστάθιος* σημειοῦται ἕ. ἀ. «Τρίλλιστος ἡ πολυλιτάνευτος, ἐκ τοῦ *τρία*, ὃ *δηλοῖ τὰ πολλά*, καὶ τοῦ λίσσεσθαι τὸ παρακαλεῖν. Ἰστέον δὲ ὡς ἐπὶ τὰ *τρία καὶ πολλά εἰσιν*, εἰ καὶ μὴ ἀντιστρέφει ὁ λόγος, διὰ τοῦτο τὸ *τρίλλιστον καλῶς καὶ πολύλλιστον λέγεται*, ὡς ἐν Ὀδυσσείᾳ κεῖται· οὕτω δὲ καὶ τὴν *τριγλώχινα* τοῦ Ποσειδῶνος τρίαιναν *πολυγλώχινά* τις λέγει ποιητής[3])· καὶ *τρισάθλιος* δὲ τῷ αὐτῷ λόγῳ ὁ κατὰ πολὺ ἄθλιος· καὶ *τρισμάκαρες* οἱ Δαναοὶ (Ὀδ. ε, 306) οἱ λίαν μακάριοι. Τοιαῦτα δὲ καὶ ἕτερα οὐκ ὀλίγα, ἐν οἷς καὶ ὁ παρὰ τῷ Κωμικῷ *τρισκακοδαίμων*[4]) καὶ ὁ ἀνάπαλιν *τρισόλβιος* (Ἐκκλ. 1129). Τοιαῦτα δὲ καὶ ἅπερ τις τῶν παλαιῶν ἔθετο παραδείγματα βλασφημιῶν τῶν ἀπὸ ἀριθμοῦ, οἷον, *τρισεξώλης* ὁ πάνυ ἐξώλης καὶ *τριπέδων* ὁ πολλάκις πεδηθεὶς κακοῦργος δοῦλος, ὃς καὶ πέδων πέδωνος ἐν ἁπλότητι λέγεται καὶ στίγων εἴτουν στιγματίας. Φέρει δὲ καὶ ἀπὸ χρήσεως τοῦ Κωμικοῦ τὸ παλίμβολος *τρίπρατος* καὶ πολλάκις ἀπημπολημένος. Σοφοκλῆς δὲ *τρίδουλον* τὸν ἐκ προγόνων δοῦλον ἔφη[5]).

---

[1]) Ἀντὶ τοῦ ***τρίλλιστος*** εὕρηται ἐν Ὀδ. ε, 455 ***πολύλλιστος***. ἰδὲ καὶ *Εὐστάθ.* 725, 21 καὶ 982, 59. Προβλ. καὶ ***Παύλ. Σιλεντιαρ.*** 786 ***τρίλλιστος***, ὃς δ᾿ ὅμως τὸν Αὐτοκράτορα καλεῖ ***τρισέβαστον***.

[2]) Καὶ ***Πλούταρχος*** (Ἠθικ. 365, β) λέγει ὅτι «***τὸ δὲ πολλάκις εἰώθαμεν καὶ τρὶς λέγειν***, ὡς τὸ «τρισμάκαρες» (Ὀδ. ζ, 154) καὶ «δεσμοὶ μὲν τρὶς τόσσοι ἀπείρονες» (θ, 340).

[3]) Ὑπαινίσσεται εἰς ***Διονυσ.*** Περιηγ. 476 ***Ἀονίῳ τμηθεῖσα πολυγλώχινι σιδήρῳ***. Εἰς τοῦτο σημειοῦται ὁ αὐτὸς ***Εὐστάθιος*** (σελ. 190 Bernh.) «ὅθεν καὶ μῦθος φέρεται, τὸν Ποσειδῶνα οἷα ἐπιστατοῦντα τοῖς σεισμοῖς ἀποτεμεῖν τὸν ἰσθμὸν Ἀονίῳ πολυγλώχινι σιδήρῳ, καὶ παρεισαγαγεῖν τὴν ἑκατέρωθεν ζωννύουσαν αὐτὸν θάλασσαν, καὶ οὕτω νῆσον ποιῆσαι τὴν τέως χερρόνησον (Σικελίαν)».

[4]) ***Ἀριστοφ.*** Ἀχ. 1024. Εἰρ. 1271. Βατρ. 19. Θεσμοφ. 209. Ἐκκλ. 1098.

[5]) Οἰδ. Τ. 1062. προβλ. καὶ Ἀντ. 858 πατρὸς τριπόλιστον =(πολυθρύλητον) οἶτον.

πολημένος [1]). Σοφοκλῆς δὲ *τρίδουλον* τὸν ἐκ προγόνων δοῦλον ἔφη [2]), Ἀνακρέων δὲ *τρισκεκορημένον* τὸν πολλάκις ἐκσεσαρωμένον, Ἀρχίλοχος δὲ *τρισοιζυρὴν* πόλιν ἔφη τὴν Θάσον [3]), Ἱππῶναξ δὲ τὸν τρία ὑπερανάβὰς ἀριθμὸν *ἑπτάδουλον* ἔφη τινά· ὑπὲρ δὲ ταῦτα ἔστι τὸ τοῦ Κωμικοῦ εἰπόντος *τρίπαλαι καὶ δεκάπαλαι καὶ μυριόπαλαι* (Ἀριστοφ. Ἱππ. 1153)»· πρβλ. καὶ 1542, 46: «Ἰστέον δὲ ὅτι αἱ συνθέσεις τοῦ *τρὶς* ἐπιρρήματος, ποτὲ μέν, ὡς ἀλλαχοῦ ἐδηλώθη (πρβλ. 725, 10), αὐτόχρημα τριάδα δηλοῦσιν, ὡς ἐν τῷ *τρισμάκαρες καὶ τετράκις*, καθὰ εἴρηται, ποτὲ δὲ *πλῆθος* σημαίνουσιν, ὡς ἐν τῷ *τρισγαρμύριοι* εἰσι παρ' Ἡσιόδῳ καὶ ἐν τῷ, ἀλλ' ὦ τρισκεκορημένε Σμερδίη παρ' Ἀνακρέοντι, ἤγουν πολλάκις ἐκσεσαρωμένε· καὶ Θάσον δὲ τὴν τρισοιζυρὴν πόλιν παρ' Ἀρχιλόχῳ, ἤτοι τὴν λίαν ὀϊζυράν» [4]).

Ὁ Ἀριστοφάνης Εἰρ. 242 εἶπεν «ἰὼ Πρασιαὶ *τρισάθλιαι καὶ πεντάκις καὶ πολλοδεκάκις*» [5]) καὶ ἐν Πλουτ. 850 ἐπὶ τὸ κωμικώτερον «οἴμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος, καὶ τρὶς κακοδαίμων καὶ τετράκις καὶ πεντάκις καὶ δωδεκάκις καὶ μυριάκις»· ἐπίσης *τρισμακάριος* εὕρηται πλειστάκις παρ' *Ἀριστοφάνει* (Ἀχ.

---

[1]) Ἰδ. **Blaydes** τόμ. ΙΒ' σελ. 395).

[2]) Οἰδ. Τ. 1062. πρβλ. καὶ Ἀντ. 858 πατρὸς τριπόλιστον οἶτον (ἰδ. κατωτέρω).

[3]) Ἀποσπ. 116.

[4]) Τὰ αὐτὰ δὲ τὸ τρίτον ἐπαναλαμβάνει ὁ Εὐστάθ. καὶ ἐν 89, 13 «Ἔοικε δὲ Ἀχιλλεὺς ἀρέσκεσθαι ἐν τοῖς ἀδικήμασι τῇ εἰς τὸ τριπλάσιον ποινῇ: Τῷ μὲν γὰρ Ἀγαμέμνονι κατ' ἄλλον λόγον *τριπλῇ* καὶ τετραπλῇ τοὺς Ἕλληνας ἀποτῖσαι τὸ γέρας ὑπέσχετο, ἑαυτῷ δὲ ἀδικηθέντι *τρὶς* τόσα φησὶ παρέσσεσθαι. Καὶ ὅρα ὅτι ποικίλως φράζων ὁ ποιητὴς τὸ *τριπλᾶ* τρὶς τόσα φησίν. ***Εἰκὸς δὲ καὶ ἀντὶ τοῦ πολλάκις εἰρῆσθαι τὸ τρίς***· ἐπεὶ καὶ οἱ *τρισμάκαρες* καὶ ὁ *τρισευδαίμων* καὶ τὰ τοιαῦτα κατὰ τοιοῦτον σημαινόμενον σύγκειται ἀπὸ τοῦ *τρὶς* ἐπιρρήματος, εἰ καὶ τὸ τρισάθλιος ὁ Πινδαρικὸς μῦθος ἄλλως νοεῖ· οὕτω καὶ *τρίαινα* ποτὲ μὲν ἡ τριγλώχιν, ποτὲ δὲ ἡ πολυτοιαύτη».

[5]) Παρ' Ἀλκ. 51 ἐλέχθη καὶ *δὶς ἄθλιος*. Πρβλ. καὶ τὸ τοῦ *Πλάτ*. Γοργ. 428 e «δὶς καὶ τρὶς καλὸν εἶναι τὰ μάλα λέγειν», καὶ τὸ Πινδαρικὸν **Νεμ. Ζ'**, 104 «ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν ἀπορία τελέθει». Γνωστὸν δ' ἐστιν ὅτι καὶ τὰ νῦν ἔτι ὑπάρχουσι λαοὶ ὧν αἱ ἀριθμητικαὶ ἔννοιαι μόλις που τὸν ἀριθμὸν δύο ἢ τρία ὑπερβαίνουσι (*Usener*, **Rh. Mus.** Ι. ἀν. σελ. 360) καὶ παρ' οἷς ὁ ἀριθμὸς *τρία* τὸ πολὺ δηλοῖ. Διὸ καὶ ὁ ***H. Diels*** ἐν **Archiv für Gesch. der Philos.** τόμ. Ι' (1897) 232 καὶ ἐν **Festschrift für Gomperz** σελ. 8,3 τὴν τυπικὴν ἐπισημασίαν τοῦ ἀριθμοῦ τρία τεκμαίρεται ἐκ τοῦ ὅτι οὗτος ἦν «**die ursprüngliche Endzahl der primitiven Menscheit**». Ἰδὲ καὶ ***Weinreich***, **Trisked**. σελ. 78.

400. Νεφ. 166. Σφ. 1293. Εἰρ. 1333. Ὄρν. 1213. 1707 κτλ.), ἐν ἀναλύσει δὲ *τρὶς δ' ὄλβια κύματα* εἶπεν ὁ *Σοφοκλ.*'Αποσπ. 719. Ὑπὸ τοῦ *Ξενοφῶντος* δ' ἐρρήθη ('Αναβ. Γ' 2, 24) καὶ *τρισάσμενος*. Παρὰ *Διον. Ἁλ.* Ρωμ. 'Αρχ. Γ' 68 λέγεται περὶ τοῦ ὑπὸ τοῦ Ταρκυνίου κατασκευασθέντος μεγίστου τῶν ἱπποδρόμων ὅτι μετὰ τὸν εὔριπον αὐτοῦ «ᾠκοδόμηνται *στοαὶ τρίστεγοι*», καὶ παρὰ *Φλαβ. 'Ιωσήπ.* 'Ιουδ. Πολ. Ε', 5, 5 φέρεται περὶ τοῦ ναοῦ τοῦ Σολομῶντος «περὶ δὲ τὰ πλευρὰ τοῦ κάτω ναοῦ δι' ἀλλήλων ἦσαν *οἶκοι τρίστεγοι* πολλοί». Καὶ ἐν τοῖς *παπύροις* δὲ εὑρίσκομεν (Pap. Ox. σελ. 138 στ. 18. καὶ 162 στ. 5 καὶ 16) ἀναγραφομένην καὶ *οἰκίαν τρίστεγον*· αὕτη σημαίνει μὲν ἀκριβῶς τὴν τρεῖς στέγας («πατώματα») ἔχουσαν, ἀλλ' ὅμως τῷ σκοπουμένῳ τὰ παρὰ τοῖς τότε ἀνθρώποις μᾶλλον ἂν τὴν μεγάλην τε καὶ ὑψηλὴν δηλῶσαι βούλοιτο. Πλὴν τοῦ Εὐσταθίου καὶ ὑπ' ἄλλων ἤδη Γραμματικῶν παρετηρήθη τὸ πρᾶγμα. Αὐτίκα *Φρύνιχος* ὁ 'Αράβιος ἐν 'Επιτομῇ (ἔκδ. de Borries. ἐν Λιψίᾳ, 1911, σελ. 111, 14) σημειοῦται: «*τριπάλαια*, τὰ πάνυ παλαιὰ» καὶ 112, 12 «*τρισέχθιστος* ἄνθρωπος οἷον παντὸς μίσους καὶ παντὸς ἔχθους ἄξιος», καὶ ὁ Σχολιαστὴς εἰς 'Ιλ. Ω, 16 «*τρὶς* ἐρύσας περὶ ἄστυ ἀντὶ τοῦ *πολλάκις*».

Τούτοις δὲ προσθέσθαι χρή, ὡς ἐγῷμαι, καὶ τὴν λέξιν *τρικυμίαν*. 'Αναμφισβήτητον γὰρ τὴν *τρικυμίαν* ἀντὶ τοῦ *πολυκυμίαν* ρηθῆναι. Τοῦτο δὲ καὶ βραδύτερον παρὰ Μανασσῇ εὕρηται (Χρονικ. 5443). Τὸ δὲ λεγόμενον ὅτι σημαίνει τὸ τρίτον κῦμα, ὡς τούτου φοβερωτέρου ὄντος τῶν προηγηθέντων δύο, ὅλως ἐν παιδιᾷ ἐρρήθη. Παίζει τοίνυν ὁ *Πλάτων* εἰς τὸ ἔτυμον τῆς λέξεως λέγων (Πολιτ. 472 α): «Οὐκ οἶσθα ὅτι μόγις μοι τὰ *δύο κύματε* ἐκφυγόντι *νῦν* τὸ *μέγιστον* καὶ χαλεπώτατον τῆς *τρικυμίας* ἐπάγεις;» ὥσπερ καὶ ὁ *Λουκιανὸς* ὃς παρίστησι τοὺς ἐπὶ μισθῷ συνόντας (Κεφ. 2) διηγουμένους «τοὺς ἐν ταῖς οἰκίαις χειμῶνας καὶ τὰς τρικυμίας καὶ νὴ Δία *πεντακυμίας* τε καὶ *δεκακυμίας*, εἰ οἷόν τ' εἰπεῖν».

Καὶ τί με χρὴ μνημονεῦσαι τῶν πολλῶν ἐκείνων ἄλλων καὶ ποικιλοτάτων ὀνομάτων τῶν τῷ τρία συνθέτων, οἷον *τρίβροχός* τε (Διοσκ.) καὶ *τρίγαμος*, Θεοκρ. 12, 5 «ὅσον παρθενικὴ προφέρει τριγάμοιο γυναικὸς» (παρὰ Πολυδ. Γ' 48 φέρεται ἄγαμος καὶ πολύγαμος κοινὰ ταῦτα καὶ ἐπὶ γυναικῶν) καὶ *τρίγιγας* (περὶ τοῦ Τάλω

τοῦ τὴν Κρήτην φυλάττοντος, *Ὀρφ.* Ἀργον. 1348) καὶ ***τρίγληνος*** (ἕρματα τρίγληνα ἐν Ἰλ. Ξ. 183, «πολλῆς θέας ἄξια» κατὰ τὸν Σχολ. καὶ κατὰ τὸν Ἡσύχ. *πολυθέατα*) καὶ ***τριδύστηνος***· εἶπε δὲ καὶ ὁ Κωμικὸς Ὄρν. 1256 περὶ τοῦ Πειθεταίρου «ὥστε θαυμάζειν ὅπως οὕτω γέρων ὢν *στύομαι τριέμβολον*» (ἔδ. Blaydes). Πᾶσι δ' ἡμῖν γνωστός ἐστιν ὁ *τριέσπερος* Ἡρακλῆς, («τὸν γὰρ Δία μισγόμενον Ἀλκμήνῃ (λέγεται) τριπλασίαν τὴν νύκτα ποιῆσαι» *Διοδώρ.* Σικελ. Δ', 9)· ὁ *Ἀριστοφάνης* εἶπεν (Ἀποσπ. 812) ***τρίκλυστος***, ***τρίκλωστον*** ἐπισπαστῆρα εὑρίσκομεν ἐν τῇ Παλ. Ἀνθ. ΣΤ', 109, («καὶ χρυσίου τρίκλωστον ἐπισπαστῆρα βόλοιο»)· σαφέστατα ὁ *Ἡσύχιος* λέγει ἑρμηνεύων τὸ ***τρικόνητος*** «ὁ *πολλάκις* ἀπολέσθαι ἄξιος καὶ καταχωσθῆναι», περὶ δὲ τοῦ Ἐπικούρου διηγεῖται *Διογ. ὁ Λαέρτ.* Βίοι Φιλοσ. 10, 5 ὅτι τινὲς διαβάλλοντες αὐτὸν ἄλλας τε πολλὰς καὶ πικροτάτας διαβολὰς ἔλεγον καὶ ὡς ἔγραφε πρὸς τὴν Θέμισταν τὴν Λεοντέως γυναῖκα «οἷος, φησίν, εἰμὶ ἐὰν μὴ ὑμεῖς πρὸς ἐμὲ ἀφίκησθε, αὐτὸς ***τρικύλιστος*** ὅποι ἂν ὑμεῖς καὶ Θεμίστα παρακαλῆτε ὠθεῖσθαι». Ἐν ἐπιγράμματι *Παύλου Σιλεντιαρίου* εἰς κόττυφον ἐμπεπτωκότα εἰς δίκτυον καὶ ἐξολισθήσαντα (Παλατ. Ἀνθολ. Θ', 396) λέγεται περὶ αὐτοῦ «ἡ τάχα που ***τριμάκαιρα*** φιλαγρέτις ὄρνιν ἀοιδὸν | *Ἄρτεμις* εὐμόλπῳ λῦσεν ἄνακτι λύρης». Ὁ χορὸς (ἡ Ἰσμήνη μᾶλλον ἢ ἡ Ἀντιγόνη) ἐν τῷ *Αἰσχύλ.* Δράματι Ἑπτὰ ἐπὶ Θήβ. 895 ταλανίζων ἀναφωνεῖ «(κήδεα) δίυγρα ***τριπάλτων*** πημάτων» (πρβλ. ἀνωτ. 978 δυσθέατα πήματα) ὃ ὁ Σχολ. ἑρμηνεύει «πολυορμήτων πολυκινήτων, σφοδρῶς πηδησάντων». Ἐν τῇ Παλατ. Ἀνθολ. ΙΒ', 57 καλεῖται ὁ *ἔρως* τριπάνουργος («ter-perfidus»). Ἡ Κλυταιμήστρα ἐν *Αἰσχύλ.* Ἀγαμέμν. 1475 ἀποκρινομένη πρὸς τὸν χορὸν λέγει «νῦν δ' ὤρθωσας στόματος γνώμην, | τὸν ***τριπάχυντον*** | δαίμονα γέννης τῆσδε κικλήσκων» [1]). Καὶ αἱ Χοηφόροι (στ. 312 ἑξ.) τὸν Ὀρέστην ἐπὶ τὴν πρᾶξιν παραθαρρύνουσαι καὶ παρορμῶσαι ἐπιβοῶσιν αὐτῷ «ἀντὶ δὲ πληγῆς φονίας φονίαν | πληγὴν τινέτω. δράσαντι παθεῖν, ***τριγέρων*** (=παλαιότατος) μῦθος ἔφυ. Παρὰ *Πλουτάρχ.* Ἠθ. 1071 c λέγεται ὑπὸ τοῦ Διαδουμένου ὅτι «οἱ ***τριπέμπελοι*** (---) περιπάτους τινὰς καὶ ἀναφωνήσεις καὶ τομὰς νη

---

[1]) Οὕτω διωρθώθη τὸ ***τριπάχυιον*** τῶν ἀντιγράφων ὑπὸ τοῦ Bamberger καὶ Hermann Πρβλ. Ἑπτὰ ἐπὶ Θήβ. 770 ὄλβος *ἄγαν παχυνθείς*.

*Δία* καὶ φαρμακείας εὐλογίστους τέλη (ποιοῦνται) τῆς ὑγιείας» ἔνθα τριπέμπελοι λέγονται οἱ ὑπὸ γήρως παιδαριώδεις καὶ παλίμπαιδες γενόμενοι. Ὁ *Πολυδεύκης* λέγει ΣΤ', 165 *τρίπαλαι* («τὸ γὰρ τριπέρυσιν ἠρέμα φορτικὸν»). Γνωστὸν δ' εἶναι τὸ τοῦ *Ἡσιόδ.* Ἔργ. 423 «ὅλμον μὲν *τριπόδην* τάμνειν, ὕπερον δὲ *τρίπηχυν*, | ἄξονα δ' ἑπταπόδην» καὶ τὸ τοῦ Σειληνοῦ πρὸς τὸν Κύκλωπα (*Εὐρ.* Κύκλ. 234) «δήσαντες δὲ σὲ κλῳῷ (=κλοιῷ) τριπήχει (=μεγάλῳ) κατὰ τὸν ὀφθαλμὸν μέσον | τὰ σπλάγχν' ἔφασκον ἐξαμήσεσθαι βίᾳ». Ἐν δὲ τῇ Παλατ. Ἀνθολογ. ΙΑ', 267 εὕρηται καὶ *ῥὶς τρίπηχυς*· Κράτης δὲ (παρ' *Ἀθην.* 418, c) φησιν ἐν Λαμίᾳ

«ἔπη *τριπήχη* Θετταλικῶς τετμημένα»

τοῦτο δ' εἶπεν ὡς τῶν Θετταλῶν *μεγάλα κρέα* τεμνόντων. *Τριπιθήκινον ῥύγχος* εἶχεν ἡ Βιτὼ (Παλατ. Ἀνθολ. ΙΑ', 196) οἷον ἰδοῦσαν τὴν Ἑκάτην [αὐτὴν] οἴομ' ἀπαγχονίσαι. *Τριπλανῆ δὲ ποδηγίαν* ἐκάλεσεν ὁ *Λυκόφρ.* Ἀλεξ. 846 τὴν περίπυστον πλάνην τῶν τριῶν Γοργόνων («λαμπτηροκλέπτης, ὁ Περσεύς, τριπλανοῦς ποδηγίας»). *Τριπόθητος-τριπόθατος* συχνόν ἐστι παρὰ τοῖς Βουκολικοῖς ἐπίθετον, ὃ νῦν ἡμεῖς *περιπόθητος* λέγομεν· πρβλ. [Θεοκρ.] Ἐπιταφ. Βίων. 51 (σελ. 93, Wilamowitz, ἐκδ. Ὀξων.) «τίς ποτὶ σᾷ σύριγγι μελίξεται ὦ *τριπόθητε*», Βίων. 14, 15 (σελ. 144 Wilamowitz) «*εἶαρ* ἐμοὶ *τριπόθατον* ὅλῳ λυκάβαντι παρείη». Τριπόθητος δὲ καλεῖται ἡ εὐδαιμονία, ὁ θρίαμβος, ὁ ὕπνος κτλ. (ἴδ. καὶ Λεξικ., πρόλ. καὶ *Ἄννης Κομνηνῆς* ΙΓ' 12 «καὶ τοῦ τριποθήτου υἱοῦ σου τοῦ βασιλέως κυρίου Ἰωάννου»)· παρὰ *Δικαιάρχῳ* 29 δὲ εὕρηται καὶ *τρίποκα κώδια*, τὰ πυκνὸν μαλλὸν ἔχοντα.

Τίς δ' ἀγνοεῖ τὸ *Σοφόκλειον* ἐκεῖνο Ἀντιγ. 857 «ἔψαυσας ἀλγεινοτάτας ἐμοὶ μερίμνας | πατρὸς *τριπόλιστον οἶτον*» τοῦ ἀτυχοῦς Οἰδίποδος οὗ τὴν συμφορὰν «πᾶς τις Ἑλλήνων θροεῖ» (Οἰδ. Κολ. 597). Ὁ *Σχολ.* σημειοῦται εἰς τοῦτο «τὸν πολλάκις ἀναπεπολημένον ἢ διάσημον καὶ πανταχοῦ ἀκουόμενον καὶ πολούμενον»· «πολυθρύλητον καὶ πάνδημον δυστυχίαν, ἣν πᾶς ἐλεεῖ». Θεόπομπος δ' ἐν τῇ πρὸς Ἀλέξανδρον Ἐπιστολῇ (παρ' *Ἀθην.* 595 β) τὴν Ἁρπάλου διαβάλλων ἀκολασίαν φησὶν «ἐπίσκεψαι δὲ καὶ διάκουσον σαφῶς παρὰ τῶν ἐκ Βαβυλῶνος ὃν τρόπον Πυθιονίκην περιέστειλεν τελευτήσασαν ἢ Βακχίδος μὲν ἦν δούλη τῆς αὐλητρίδος, ἐκείνη δὲ Σι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... ΦΙΛΟΣΟΦΙΑΣ ... ΙΩΑΝΝΙΝΑ 2006

νώπης τῆς Θρᾴττης τῆς ἐξ Αἰγίνης Ἀθήναζε μετενεγκαμένης τὴν πορνείαν· *ὥστε γίνεσθαι μὴ μόνον τρίδουλον, ἀλλὰ καὶ τρίπορνον αὐτήν»*. *Τρισάλαστος* εὕρηται ἐν τῇ Παλατ. Ἀνθολ. ΙΒ', 137 ἐν τῇ σημασίᾳ τοῦ τρισάθλιος («Ὀρθροβόας, δυσέρωτι κακάγγελε, νῦν τρισάλαστε»), παρὰ δὲ *Θεοφρ.* περὶ Φυτ. Ἱστορ. 2, 4, 2 φέρεται *τρισάλυπος* ὁ τελείως ἄλυπος, πρὸς ὃ παραβλητέα τὰ *τρισαλιτήριος* (Προδρομ. Α' 269 τοιαῦτα πέπονθα δεινά, κρατάρχα στεφηφόρε, | παρὰ μαχίμου γυναικὸς καὶ τρισαλιτηρίας), καὶ *τρισανάριθμος* ὁ σφόδρα ἀναρίθμητος (ἴδ. Rutgers, Var. lect. Ἐν Λουγδ. Βατ. 1618,5, 8)· *τρισάνθρωπος* ἐν τῇ σημασίᾳ τοῦ *τρισάθλιος* ἐρρήθη ὑπὸ Διογένους τοῦ Σινωπέως τοῦ περιπύστου Κυνικοῦ (ἴδ. *Διογ. Λαέρτ.* ΣΤ', 47 «τοὺς ῥήτορας καὶ πάντας τοὺς ἐνδοξολογοῦντας τρισανθρώπους ἀπεκάλει ἀντὶ τοῦ τρισαθλίους»)· παρὰ δὲ *Νικήτᾳ τῷ Εὐγενειανῷ* εὑρίσκομεν ΣΤ' 204 (ἐκδ. Boissonade, παρὰ Didot) *τρισάποτμος* [1]) καὶ 333 *τρισανόητος*, ὁ πάνυ ἀνόητος. Ὁ *Κικέρων* εἶπε (ad Attic. 4. 15, 4) *τρισαρεοπαγίτης* περὶ ἀνηλεοῦς δικαστοῦ. Πρὸς τὸ παλαιὸν *τρισάσμενος* παραβλητέα τὰ τῶν μεταγενεστέρων *τρισαριστεργάτης* (*Μανασσ.* Χρον. 3192), *τρισάριστος* (*Κοσμ. Ἱεροσολ.* 496 παρὰ Migne), *τρισάρρητος* (*Θεοδ.* Στουδ. 412 α'), *τρισασπάσιος* (*Νικ. Χωνιάτ.* παρὰ Σάθᾳ Μεσ. Βιβλ. Α', σελ. 135), *τρισαύγουστος* (*Θεοφ.* 279, 443), *τρισβδέλυκτος*, *τρισβδέλυρος*. Μνημονευτέα τέλος ἔτι καὶ τὰ τῆς Ἀνθολ. *τρισάωρος* (ὁ λίαν ἀώρως ἀποθανὼν Ζ', 527), *τρισδείλαιος* (Ζ', 737), *τρισδύστηνος* (Θ', 574), *τρισθανὴς* (Η', 170), *τριχάλεπτος* (ΙΒ', 229), *τριχόλωτος* (Θ', 168). Ἐπίτασιν τοῦ *ἕωλος* μεγάλην δηλοῖ τὸ παρ' *Αἰλιανῷ* (περὶ ζῴων ΙΘ'44) *τρισέωλος* («ῥινοκέρωτος εἶδος γράφειν τρισέωλόν ἐστιν» rhinocerotis figuram nimis frivolum esset describere), τοῦ *κατάπτυστος* τὸ *τρισκατάπτυστος* (*Πολυδ.* ΣΤ' 105), τοῦ *κατάρατος* τὸ *τρισκατάρατος* (*Δημοσθ.* κατ' Ἀριστογ. Α', 82), τοῦ **κοπανιστὸς* τὸ *τρισκοπάνιστος* (ἄρτος, Βατραχομ. 35), τοῦ *ὄλβιος* τὸ *τρισόλβιος* (*Ἀριστοφ.* Ἐκκλ. 1129,

---

[1]) Ὁ Σχολιαστὴς ὀρθῶς ἡρμήνευσε τὸ *τρισάποτμος* διὰ τοῦ *τρισθάνατος* (οὐχί: τρισαθάνατος) οἷον τρισθανής, τρὶς θανάτου ἄξιος· τὸ δὲ τοῦ Boissonade (ἐκδ. Λουγδ. τόμ. Β' σελ. 299) «voluit ne τρισαθάνατος» πρὸς τὴν ἔννοιαν τοῦ χωρίου ἄντικρυς μάχεται.

κτλ.), καὶ τοῦ *φιλητὸς* τὸ *τριφίλητος* («ὁ τριφ. Ἄδωνις, ὃ κὴν Ἀχέροντι φιλεῖται» *Θεοκρ.* ΙΕ', 86).

Ἀλλὰ τίνος ἕνεκα ὁ τρία ἀριθμὸς οὕτως ἱερὸς ἐνομίσθη, ἐξ ἧς ἱερότητος εἶτα ἡ πρὸς ἐπίτασιν δύναμις εὐκόλως ἐγεννήθη; Ὑπὸ πολλῶν ὁμολογεῖται ὅτι οἱ Πυθαγόρειοι πεντακόσια πρὸ Χριστοῦ ἔτη ταύτην τὴν τῶν ἀριθμῶν μυστικότητα ἢ συμβολικὴν δύναμιν εἰσηγάγοντο, ταύτην δὲ πολλοὺς αἰῶνας μετὰ τὴν ἡμετέραν χρονολογίαν βλέπομεν σῳζομένην. Ὁ δ' *Ἀριστοτέλης* παραδίδωσιν ἡμῖν (περὶ οὐραν. Α 1 = 268 α 10) ὅτι οἱ Πυθαγόρειοι ἔλεγον τὸ πᾶν κα τὰ πάντα τοῖς τρισὶν ὡρίσθαι· *τελευτὴ γὰρ καὶ μέσον καὶ ἀρχὴ* τον ἀριθμὸν ἔχει τὸν τοῦ παντός, ταῦτα δὲ τὸν τῆς τριάδος. διὸ παρὰ τῆς φύσεως εἰληφότες ὥσπερ νόμους ἐκείνης, καὶ πρὸς τὰς *ἁγιστείας* χρώμεθα τῶν θεῶν τῷ ἀριθμῷ τούτῳ [1]).

Τῶν Πυθαγορείων τούτων περὶ τοῦ ἀριθμοῦ *τρία* δογμάτωνὶ ἀνάμνησιν καὶ ἐπενέργειαν εὕροι ἄν τις καὶ παρὰ τοῖς ὕστερον συχνὴν καὶ πρόθυμον [2]). Αὐτίκα *Πλάτ.* ἐν Φιλήβ. 66 d εἰσάγεται Σωκράτης πρὸς Πρώταρχον λέγοντα «ἴθι δή, *τὸ τρίτον τῷ σωτῆρι* τὸν αὐτὸν διαμαρτυράμενοι λόγον ἐπεξέλθωμεν» καὶ ἐν Χαρμίδῃ 167,α «πάλιν τοίνυν, *τὸ τρίτον τῷ σωτῆρι*, ὥσπερ ἐξ ἀρχῆς ἐπισκοπώμεθα» (πρβλ. καὶ Πολιτ. Γ' 583 β) πρὸς ἃ οἱ Σχολιασταὶ ἐσημειώσαντο «ἐκ μετα-

---

[1]) Πρβλ. καὶ Σχολ. Θεοκρ. Β' 43 *τρίς*· παρόσον τέλειός ἐστιν ἀριθμὸς ὁ τρεῖς, ἀρχὴ ὤν, καὶ μέσα καὶ τέλος, ἔστι φύσει τρίγωνος· παραβλητέον καὶ τὸ τοῦ Πλάτωνος ἐν Φιλήβ. 31, α «ἡδονὴ δὲ ἄπειρός τε αὐτὴ καὶ τοῦ μήτε ἀρχὴν μήτε μέσα μήτε τέλος ἐν αὐτῷ ἀφ' ἑαυτοῦ ἔχοντος μηδὲ ἕξοντός ποτε γένους». Ἀλλὰ καὶ ἄλλας τοῦ πράγματος ἀφορμὰς ῥᾴδιον ἦν ἐξευρεῖν. Τρία δήπου τινὰ συνορᾷ τις ἐν τῷ οὐρανῷ, τῇ γῇ καὶ ἐν τῇ θαλάσσῃ, εἶτα δὲ ἐν τῷ ἡλίῳ, σελήνῃ καὶ ἐν τοῖς ἀστράσι, ἐν τῷ νῦν καλουμένῳ «Βασιλείῳ» τῶν ζῴων, τῶν φυτῶν καὶ τῶν ὀρυκτῶν, ἐν τῷ μήκει, πλάτει καὶ ὕψει τῶν πραγμάτων, ἐν τῇ γενέσει, αὐξήσει καὶ ἐν τῇ φθορᾷ αὐτῶν (ἰδ. ἀνωτ.), καὶ ἐν τῇ διαιρέσει τέλος τοῦ χρόνου εἰς παρελθόν, παρὸν καὶ μέλλον· καὶ ὁ Ἐπίκτητος δ' ἔλεγε (Γ', ζ', 2) ὅτι τρία ἐστὶ περὶ τὸν ἄνθρωπον, ψυχὴ καὶ σῶμα καὶ τὰ ἐκτός: Μνημονευτέον δ' ἐνταῦθα ἐκ παρόδου καὶ τῆς παρὰ *Πλάτωνι* (Λυσ. 216, δ) διαιρέσεως καθ' ἣν «δοκεῖ ὡσπερεὶ τρία ἄττα εἶναι γένη, τὸ μὲν ἀγαθόν, τὸ δὲ κακόν, τὸ δ' οὔτ' ἀγαθὸν οὔτε κακόν» (πρβλ. καὶ 220,γ), καὶ τῶν ἐν Φιλήβῳ (43, γ) *τριττῶν βίων* ἑνὸς μὲν ἡδέος, τοῦ δ' αὖ λυπηροῦ, ἑνὸς δὲ μηδέτερα.

[2]) Περὶ τῆς δυνάμεως τῶν ἀριθμῶν παρὰ τοῖς Πυθαγ. ἰδ. *Gomperz*, Griech. Denker A[3], 87 ἑξ. *M. Wundt*, Gesch. der gr. Ethik, Α', 142 καὶ *Überweg-Brächter*, Gesch. der altgr. Philos. ἔκδ. 11η (ἐν Βερολίνῳ 1920) σελ. 80. Πρβλ. καὶ *Roscher*, Altpythagoreismus σελ. 41 καὶ *Lobeck*, Aglaoph. 381 ἑξ.

φορᾶς εἴρηται τοῦ ἐν ταῖς συνουσίαις ἔθους· Σοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι. ἐκιρνῶντο γὰρ ἐν αὐταῖς *κρατῆρας τρεῖς*. καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον σωτῆρος, ὡς ἐνταῦθά τε καὶ δὴ καὶ ἐν Πολιτείᾳ. ἔλεγον δὲ αὐτὸν καὶ *τέλειον*, ὡς Εὐριπίδης Ἀνδρομέδᾳ καὶ Ἀριστοφάνης Ταγηνισταῖς»· καὶ «τὸ τρίτον τῷ σωτῆρι, ἐπὶ τῶν *τελείως τι πραττόντων*. τὰς γὰρ τρίτας σπονδὰς καὶ τὸν τρίτον κρατῆρα ἐκίρνων τῷ Διὶ τῷ σωτῆρι. *τέλειος γὰρ ὁ τρία ἀριθμός*, ἐπειδὴ καὶ ἀρχὴν καὶ μέσον καὶ τέλος ἔχει, καὶ πρῶτος οὗτος τῶν ἀριθμῶν ἀρτιοπέριττος». ἴδε *Ἡσυχ.* ἐν λ. καὶ *Φωτ.* Λεξ. *τρίτου κρατῆρος* (Β' σελ. 227 Naber) καὶ *Σουΐδ.* ἐν λ. καὶ Σχολ. Πινδαρ. Ἰσθμ. Ε' 10. Καὶ *Φιλόχορος* δὲ ἐν τῷ περὶ ἑορτῶν (*A. Tresp.* Die Fragm. der gr. Kultschriftsteller σελ. 78) τοῦ τρίτου κρατῆρος μέμνηται τὰ τοῦ Ἀριστοτέλους εἰδώς. Ἐκ τοῦ Φιλοχόρου δὲ πάλιν *Ἀθήναιος* τὰ ἑαυτοῦ συνήγαγε (ΙΕ' 692 f ἑξ.).

Εἰρήσθω δ' ἐνταῦθα ἐν παρόδῳ ὅτι οἱ Ἀθηναῖοι τὴν τρίτην τοῦ *μηνὸς ἡμέραν ἀποφράδα* ἐνόμιζον (*Εὐριπ.* Ἀλκῆστ. 320 : δεῖ γὰρ θανεῖν με, καὶ τόδ' οὐκ ἐς αὔριον· | οὐδ' εἰς *τρίτην μοι μηνὸς* ἔρχεται κακόν, | ἀλλ' αὐτίκ' ἐν τοῖς μηκέτ' οὖσι λέξομαι)· καὶ πολλαὶ μὲν τούτου αἰτίαι ᾐκάσθησαν, ἀλλὰ πᾶσαι φαίνονται ἀπίθανοι οὖσαι. Οὕτως ἐλέχθη ὅτι ἡ ἡμέρα αὕτη ἐνομίσθη ὑπὸ τῶν Ἀθηναίων ἀποφρὰς διὰ τὸν τῆς Ἀθηνᾶς φόβον, αὐτῆς ταύτης τῆς «πολιούχου Παλλάδος» καὶ «ἀνάσσης Ἀθηνᾶς»! Διὰ τοῦτο καὶ οἱ Ῥωμαῖοι βραδύτερον τὴν πέμπτην τοῦ μηνὸς (τὴν κατ' αὐτοὺς γενέθλιον τῆς θεᾶς) ἀποφράδα (dies ater) ἡγοῦντο (πρβλ. Σερούϊον εἰς Οὐεργιλ. Georg. I 277 καὶ περὶ τούτου καὶ τῶν ἄλλ. ἴδ. W. Schmidt, Geburtstag σ. 109). Ὑπ' ἄλλων δ' ἔτι ἀπιθανώτερον ἐρρήθη ὅτι ἡ τρίτη ἡμέρα τοῦ μηνὸς ἐνομίσθη ἀπαίσιος ὡς γενέθλιος οὖσα τοῦ Ἄρεως· ἵνα δὲ τὸ ἀπαίσιον ταύτης μετριάσωσιν ἔταξαν εἰς τὴν τρίτην καὶ τὴν γενέθλιον ἡμέραν τῆς Ἀθηνᾶς. Ἡ δεισιδαιμονία αὕτη βραδύτερον ἐκ τῆς τρίτης τοῦ *μηνὸς* μετηνέχθη καὶ εἰς τὴν τρίτην ἡμέραν τῆς *ἑβδομάδος* (ἴδ. *R. Wünsch* Sethianische Verfluchungstafeln, 1898 σελ. 79 καὶ *A. Thumb* ἐν Zeitschr. f. dtsch. Wortf. I (1901) 171, 173), ἧς καὶ τὸν ἡγήτορα πλανήτην ἢ θεόν, τὸν *Ἄρην*, τὸν «κακοεργὸν» καὶ «κακομήχανον» ἀείποτε βλαβερὸν ἡγοῦντο (πρβλ.

*Εὐστάθ.* Παρεκδ. 32, 30 "Ἄρης ἀπὸ τοῦ *βλάπτειν* ὀνομασθῆναι δοκεῖ, ἐπεὶ καὶ βροτολοιγὸς ὁ αὐτός). Συμπιπτούσης δὲ τῆς ἀρχῆς τοῦ μηνὸς πρὸς τὴν τρίτην ἡμέραν τῆς ἑβδομάδος ὁ μὴν ἀπρόσφορος πρὸς πᾶν ἔργον ἐνομίζετο («ἴσχεο δ' ἔργων» 'Ορφ. ἀποσπ. 26). Καὶ μέχρι καὶ τοῦ νῦν χρόνου ἡ Τρίτη ἡμέρα τῆς *ἑβδομάδος* παρὰ τοῖς νεωτέροις Ἕλλησιν ἀπαίσιος νομίζεται, καὶ εἰς τὴν κατ' αὐτὴν γενομένην μεγάλην ἔφοδον τῶν Τούρκων κατὰ τῆς Κωνσταντινουπόλεως ἐπανεφέρετο ὑπὸ τῆς Βυζαντιακῆς δεισιδαιμονίας ἡ πτῶσις τῆς νῦν που ἀπελευθερωθησομένης Βασιλευούσης.

Καὶ ἐν τῇ καθ' ἡμᾶς τοίνυν Ἑλληνικῇ φωνῇ λέγεται *τρισκατάρατος* [1]) ἢ *τρισκαταραμένος* (*Passow*, Carm. 636), *τρισμέγιστος*, *τρισαφόρεστος* (ἐν Οἰνόῃ), *τρισάθλιος* [2]), *τρίβουλος* ὁ εὐμετάβολος τὴν γνώμην (ὦ δίβουλε, ὦ τρίβουλε, *Passow* ἔνθ. ἀν. Distich. 1097), *τρίκαλα* (ἐν Κρήτῃ), *τριπύρινος* ὁ λίαν θερμός, *τρισεύγενος* (ἐν Κεφαλληνίᾳ, πρβλ. ἡ *Τρισεύγενη*), *τρισμακάριστος* κτλ. [3]) ἔνθα τὸ *τρὶς* (=πολὺ) ἐπιτείνει τὴν δύναμιν τοῦ ἐπιθέτου. Σφόδρα δὲ δυσχερὴς ἐστιν ἡ δήλωσις τοῦ ὁρίου τῆς Ἑλληνικῆς καὶ τῆς Χριστιανικῆς χρήσεως τοῦ ἀριθμοῦ τούτου [4]).

---

[1]) Ἤδη τοῦτο παρὰ *Δημοσθένει* κατ' Ἀριστογ. Α' 82 εὕρηται: «ὁ *τρισκατάρατος* ὁ κοινὸς ἐχθρὸς ὁ πᾶσι δυσμενής»· ἰδ. καὶ ἀνωτ. βραδύτερον δὲ καὶ παρὰ *Λουκιαν.* Ἀλεξ. ἢ ψευδομ. 31 «ἀλλὰ καὶ μηχανᾶταί τι ὁ τρισκατάρατος οὐκ ἄσοφον».

[2]) *Σοφ.* Οἰδ. Κ. 372 τρὶς ἄθλιος. Ὁ *Porson*, Προλογ. εἰς Εὐρ. Ἑκ. σελ. 30 ἐκδ. Διψ., τὰ τοιαῦτα ἐπίθετα διαλελυμένα ἔγραφε.

[3]) Παρὰ *Προδρόμῳ* Α, 269 κτλ., ἐκδ. Hesseling-Pernot, εὕρηται καὶ *τρισαλιτήριος* (ἰδ. ἀνωτ.), καὶ *τριπίνακος* (Γ' 101 «μαγειρεία τρ.») καὶ *τρισκράτιστος* (Δ' 277 «κράτος τρ.» πρβλ. καὶ 292 g) καὶ *τρι(σ)πίθαμος* (Γ' 153 «καὶ κέφαλος *τριπίθαμος* αὐγᾶτος ἐκ τὸ 'Ρήγιν») ἐν τῇ σημασίᾳ *μέγας*· τοῦτο ἐν τῇ δημώδει λαλιᾷ λεγόμενον περὶ ἀνθρώπου δηλοῖ τὸν ἔχοντα βραχὺ τὸ τοῦ σώματος μέγεθος, τὸν βραχὺν (βραχὺς τὴν μορφὴν *Πινδ.* Ἰσθμ. Δ' 89), τὸν κοινῶς λεγόμενον «κοντόν».

[4]) Περὶ τοῦ *τρία* ὡς ἀριθμοῦ συστήματος ἀρχαίων θεῶν (τριάδος) καὶ καθ' ὅλου ἱεροῦ ἀριθμοῦ ἰδὲ τὴν μακρὰν καὶ ἐμβριθῆ μελέτην «Dreiheit» τοῦ *Usener* τὴν καταχωρισθεῖσαν ἐν τῷ περιοδ. συγγρ. «Rheinisches Museum» τόμ. ΝΗ' (1903) σελ. 1-47, καὶ 161-208, καὶ 321-362, ἐν ᾗ εὕρηνται καί τινα καὶ περὶ τῶν ἄλλων συμβολικῶν καὶ τυπικῶν λεγομένων ἀριθμῶν· πρβλ. καὶ *Gruppe*, Griech. Mythol. B', 1088 σημ. 3, ἰδὲ καὶ *Th. Neidhardt*, Über Zahlungssymbolik der Griechen und Römer. I Heft: Die Drei- und Neunzahl, Fürth, 1895 (II Heft: Zwölf- und Siebenzahl, F. 1896) σελ. 3-33. Τοῦτο τὸ βιβλίδιον δυσεύρετον λίαν ὂν ἔλαβον παρὰ τῆς ἐν Μονάχῳ Βιβλιοθήκης τοῦ Κράτους (Ant. 272ᵉ). Μνημονευτέον τέλος καὶ τῆς δημώδους διαλέξεως Zahlungssymbolik τοῦ

Ἐν τῷ ὑπὸ τοῦ *Πασπάτη* συντεταγμένῳ «Χιακῷ Γλωσσαρίῳ» σελ. 363 φέρεται: «*τριμύσταρον* ἀντὶ τριμυστήριον ἐν τῇ ἐννοίᾳ ἀκατανόητον, φρικτόν, τρομερόν». Σημείωσαι τὴν μεγεθυντικὴν λεγομένην κατάληξιν -αρον (ἀντὶ -ηρον), ἣν καὶ ἐπ' ἄλλων λέξεων τῆς δημώδους φωνῆς εὑρίσκομεν συχνήν.

Μνημονευτέον τέλος καὶ τῶνδε: *τρικάλαμος* ὁ ἄγαν φωτεινὸς λαμπρὸς (ἐν Ἀμισῷ), *τρικαψίδι* (τὸ) περὶ δυσηνίου παιδὸς τοὺς ἑαυτοῦ γονέας ταλαιπωροῦντος (*τρικέφαλον ὀφείδ'*, ἐν Πόντῳ), *τρικέρης* (ἐν Κεφαλληνίᾳ) ἐπὶ συζύγου οὗ ἡ γυνὴ ὑπὸ πολλῶν μοιχεύεται· *τρικοίλης* ἐν Πάρῳ καὶ Σμύρνῃ λέγεται ὁ γάστρων, *τριλόχι* (ἐν Κεφαλληνίᾳ) ὁ σφοδρὸς ἄνεμος, *τριμμάτης* (ἐν Κυθήροις) ὁ κοινῶς λεγόμενος *ἀνοιχτομμάτης*, ὁ πανοῦργος καὶ ὀξὺς τὴν διάνοιαν (πρβλ. κατωτέρω *ἑφτάπατος*).

Τούτοις προσθετέον τό τε ἐκ τοῦ ἐπιρρήματος *τριγύρω* ἐσχηματισμένον συνηθέστατον ῥῆμα *τριγυρίζω* (περιτριγυρίζω) ἢ *τριγυρνῶ* ὅπερ δηλοῖ περιπλανῶμαι, περιέρχομαι ἀσκόπως, περιφέρομαι, περιπολῶ [1]) καὶ τὸ *τριποδῶ* λεγόμενον, ὅσον γ' ἐμὲ εἰδέναι, ἐπὶ τοῦ ἐκ πόνου ἢ ὑπὸ χαρᾶς ἀλλομένου [2]). Τρι- tri- καὶ ἐν τῇ Λατινικῇ εἰς

---

*Moritz Cantor*, τῆς ἐκδοθείσης ἐν τοῖς Neue Heidelberger Jahrbücher τόμ. Ε', (1895), σελ. 25–45, καὶ τῶν ὑπὸ τοῦ *Karl Marbe* περὶ τῶν ἀριθμῶν λεγομένων ἐν τοῖς Grundzüge der forensischen Psychologie (ἐν Μονάχῳ, Beck) 1913.

[1]) Τὰ παρὰ *Simon Portius* publ. par W. Meyer σελ. 229 λεγόμενα περὶ τοῦ τρί- ὡς ἴσως ἐκ τοῦ *τρίγωνος* οὐδαμῶς ἔχουσιν ὀρθῶς. Παρὰ *Μαυροφρύδῃ* Ἐκλογ. μνημ. σελ. 331 ἔχομεν καὶ ῥῆμα *τριοκοποῦμαι* («ὁ νοῦς μου εἰς τοιαύτην μέριμναν *ἐτριοκοπᾶτον*») σημαῖνον βασανίζομαι, τυραννοῦμαι, ἐν τῇ αὐτῇ δέ που σημασίᾳ εὑρίσκω παρὰ *Σακελλαρίῳ*, Κυπριακῶν τόμ. Γ' (Ἀθ. 1868) σελ. 404 τὸ *τριβικιάζομαι* (=στενοχωροῦμαι, μικροψυχῶ). Ἐν τούτοις οὐ τὸ *τρία* ἀλλὰ τὸ *τρίβω* ὑπόκειται. Ἐν Σύμῃ λέγεται *τριβιδιάζ(ξ)ομαι* σημαίνει δὲ «ἀνατριχιάζω» φόβῳ φρίττειν.

[2]) Ὑπεσχῆσθαι νῦν βούλομαι τὸν ἐπιφερόμενον λόγον περὶ τῶν μετὰ τοῦ *τετρα-* (τέσσαρα) καὶ *ἑξα-* (ἕξ) συνθέτων, ὧν σύντομον μνείαν ποιεῖται *John Schmitt* ἐν Byz. Zeitchrift Β' 216 σημ. «Περὶ τῆς *κατὰ δώδεκα* ἀπαριθμήσεως» ἔγραψε πραγματείαν ὁ ἀοίδιμος *Κοραῆς* (Ἄτ. Γ', 425—436) ἐν ᾗ ἐξετάζεται τὸ «πόθεν εἰσέβη καὶ εἰς ἡμᾶς, καὶ εἰς ὅλα τὰ Εὐρωπαῖα ἔθνη ἡ ἄλογος συνήθεια τῆς κατὰ δώδεκα ἀπαριθμήσεως, τῆς κοινῶς ὀνομαζομένης *δοζίνας*, ἀντὶ τῆς φυσικῆς δεκάδος» εὑρίσκει δ' ὁ Κοραῆς πιθανώτατον «ὅτι τὰ γενέθλιά της εἶναι Αἰγυπτιακά. Ἀπὸ τὴν Αἴγυπτον καὶ τὴν Φοινίκην ἐπέρασε πρῶτον εἰς τοὺς Ἕλληνας, καὶ ἀπὸ τούτους καθεξῆς εἰς τοὺς Ῥωμαίους καὶ εἰς τὴν λοιπὴν Εὐρώπην, ὅπου διαμένει ἀκόμη εἰς πολλά της μέρη». Ἰδὲ καὶ τὸ βιβλίδιον τοῦ *Konrad Nagel*, Untersuchungen zur Geschichte der Zwölfzahl ὃ ἐγὼ οὐχ οἷός τε ἐγενόμην ἰδεῖν. Οὐδὲν δὲ

ΙΩΑΝΝΙΝΑ 2006

δήλωσιν σφοδρᾶς ἐπιτάσεως ἔχομεν ἐν τοῖς τοῦ *Πλαύτου* *trifur* (Aul. 4, 4, 6 non fur, sed trifur) *trifurcifer* (Aul. 2, 4, 47), *triparcus* (Pers. 2, 3, 14), *trivenefica* (Aul. 1, 2, 8). Πρὸς δὲ ἐν τῷ *Triphallus* (Auct. Priap 83, 9), ἐν τῷ ἐπιθέτῳ τοῦ Αἰγυπτιακοῦ Ἑρμοῦ *Trismegistus* (Lactant. 1, 6, 3. καὶ 6, 25, 10· ἴδὲ καὶ *R. Reitzenstein*, Poimandres, σελ. 2 ἑξ.) καὶ ἐν τῷ Trimalchio τοῦ Πετρωνίου (ἴδ. Friedländer σελ. 209). Περὶ τῆς Ἀθηνᾶς τῆς *τριτογενοῦς καὶ Τριτογενείας* καλουμένης βλ. κατωτέρω [1]).

Ὅτι δὲ τὸ ἀριθμητικὸν ***πέντε*** ἐν συνθέσει τοιαύτην ἐπιτατικὴν σημασίαν ἐν τῇ καθ' ἡμᾶς Ἑλληνικῇ γλώσσῃ προσέλαβεν, αἴτιον τούτου τὴν σύγχυσιν αὐτοῦ πρὸς τὸ *πᾶς*, *πάντ-* γεγονέναι, πᾶς τις ἂν δικαίως ὁμολογήσειε [2]). Τῆς χρήσεως ταύτης τοῦ *πέντε* δηλωτικώτατον παράδειγμα ἔχομεν ἐν τῷ τῶν παλαιῶν ***πεντακόρωνος***, (πρβλ. Lobeck εἰς Φρύν. 413 καὶ *Brugmann-Thumb*, Gr.

πρὸς τὸ ἐμὸν θέμα παρέχει ἡ τοῦ *T. Maretic* πραγματεία Die typischen Zahlen in der russischen Volksepik ἐν τῷ Archiv für slavische Philologie τόμ. ΚΕ' σελ. 452 — 462 ἣν τότε μὲν ἠγνόουν, καὶ νῦν δὲ ταύτης ἀμελῶ παρὰ τὴν ἐπιθυμίαν ἐπαινέτου ἄλλως κριτικοῦ.

[1]) Περὶ τοῦ ἀριθμοῦ ***τρία*** ἴδε καὶ ***Fr. Boll***, Die Lebensalter σελ. 8-11.

Περὶ τοῦ «ἀριθμοῦ 3 ἐν τῷ δικαίῳ» διέλαβε παρ' ἡμῖν ὁ Νικ. Π. Δημητρακόπουλος ἐν «Ἐφημερίδι τῆς Ἑλληνικῆς καὶ Γαλλικῆς Νομολογίας» ἐκδιδ. ὑπὸ Σ. Κ. Μπαλάνου τόμ. 27ῳ (1907) σελ. 49-80. Καὶ ἐν μὲν τῷ προοιμίῳ λέγει τινὰ περὶ τῆς «ἐν τῷ δικαίῳ χρησιμοποιήσεως τῶν ἀριθμῶν» καὶ τῶν «ἰδίων καὶ περιέργων μορφολογικῶν νόμων τῶν ἐν τῷ θετικῷ δικαίῳ ἀπαντώντων» ποιεῖται δὲ καὶ μνείαν βιβλίου ἄλλοθεν ἐμοὶ ἀγνώστου ***D. Marchand***, La Science des Nombres d'après la tradition des siecles 1877». Περὶ τοῦ ἀριθμοῦ τρία σημειοῦται ὅτι οὗτος «εἴτε ὡς ἀκέραιος εἴτε ὡς κλασματικός, εἴτε ἁπλοῦς εἴτε ἐν συνθέσει, εἴτε φαινόμενος εἴτε λανθάνων, εἶναι ὁ κατ' ἐξοχὴν προνομιοῦχος ἀριθμός, ἐν τῷ καθορισμῷ τοῦ χρόνου κατὰ τὰς ποικιλωτάτας αὐτοῦ χρήσεις, ἐν τῷ κανονισμῷ τῶν διαφόρων ποσοτήτων, καὶ ἡ κυριαρχοῦσα ἀριθμητικὴ μορφὴ καθ' ἁπάσας τὰς σχέσεις καὶ ἀναφορὰς τῆς νομοθεσίας πρὸς τοὺς ἀριθμούς». Ἐν τῷ μετὰ τὸ προοίμιον κεφαλαίῳ «ὅ,τι προκύπτει ἐκ τῶν νομοθετικῶν κειμένων» ἐξετάζεται ἐπιμελῶς ἡ τοῦ ἀριθμοῦ τρία χρῆσις καὶ συντυχία ἐν τοῖς κειμένοις νῦν ἑλληνικοῖς νόμοις μετὰ παρεκβάσεως περὶ τοῦ τρία ἐν τῇ ἱστορίᾳ τοῦ ῥωμαϊκοῦ δικαίου. Τὰ μετὰ ταῦτα κεφάλαια Β' «Ἱστορικὴ καὶ φιλοσοφικὴ ἔρευνα» καὶ Γ' «Ἐποικοδόμησις» εἰσὶν ἀτελέστατα καὶ στοιχειώδους μόνον ἐρεύνης ἀπογεννήματα· καὶ ὀλίγα μέν τινα τῶν χωρίων τῶν ἀρχαίων συγγραφέων ἁπλῶς ἐν τῷ Β' κεφαλαίῳ ἀναφέρονται, ἀγνοεῖται δ' ὡς μὴ ὤφελε πάντη ἡ τοῦ **Usener** θεμελιώδης μελέτη, ἐν ᾗ ἄλλα τε καὶ νομικὰ ὠφελήματα εὑρίσκει ὁ νομικὸς ὁ ταύτην πρὸς ἴδιον ὄφελος ἀναγιγνώσκων.

[2]) Πρβλ. *Πρόδρομ.* Β' 2 αὐ πένης ὁ ***παντάπορος*** ὁ περιστατημένος»

Gramm. σελ. 198 καὶ 250), ὁ *πεντάκις κορώνης μακροβιώτερος* (πρβλ. τὸ τοῦ *Πολυδ.* Β' 16 ὁ ὑπὲρ τὰς κορώνας βεβιωκώς), γνωστὸν δ' ἐστι καὶ τὸ *τρικόρωνος* (Παλατ. *'Ανθολογ.* Ε' 288 ἡ γραῦς ἡ τρικόρωνος — ἄγριον ἦτορ ἔχει, κτλ.) ἐν τῇ αὐτῇ που σημασίᾳ εἰρημένον. 'Αμφότερα δὲ ὑπαινίσσονται τὸ 'Ησιόδειον (Χίρωνος ὑποθήκ. 170 (182), πρβλ. Rzach ἐν μείζ. ἐκδ. σελ. 201) «ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη | ἀνδρῶν ἡβώντων· ἔλαφος δέ τε τετρακόρωνος | τρεῖς δ' ἐλάφους ὁ κόραξ γηράσκεται· αὐτὰρ ὁ φοῖνιξ | ἐννέα μὲν κόρακας» κτλ. Μνημονευτέα δ' ἐν προσθήκης μέρει καὶ ἡ ἐν τῇ παλαιᾷ γλώσσῃ παροιμία «ἐν πέντε κριτῶν γούνασι κεῖται» οἷον ἐν ἀλλοτρίᾳ ἐξουσίᾳ ἐστιν, παρ' ὅσον πέντε κριταὶ τοὺς κωμικοὺς ἔκριναν. Οὕτω δὴ εἰρῆσθαι συμβέβηκε τό τε *πεντάμορφος* (ὁ *παντεύμορφος*, ὃ παρὰ *Τζέτζῃ* 'Ιστορ. Ε' 949 εὕρηται, καὶ *παντόμορφος* ἐν *Σοφοκλ.* 'Αποσπ. 548 Dindorf κτλ. καὶ *Grenfell*, Greek *Papyri* 49. 20)[1], καὶ *πεντάρφανος* (παρὰ *Σομαβέρᾳ* 306 ἀνομοιώσει *παντάρφανος*) ὁ παντόρφανός ἐστι. Τοῦτο δὲ καὶ εὕρηται παρὰ *Σπανέᾳ* στίχ. 34 (Wagner, CGMA σελ. 3), ἀνθ' οὗ τὸ Δοχειαριτικὸν ἀπόγραφον (ἐκδ. ὑπὸ *Σπ. Π. Λάμπρου* ἐν Δελτ. 'Ιστορ. καὶ 'Εθν. 'Εταιρ. τόμ. Ε' (1896) στίχ. 46 παρέχει ἡμῖν τὸν τύπον *πεντάρφενος*. Τὸ δὲ *πεντάγνωμος* ἐν μὲν τῇ Κρήτῃ δηλοῖ τὸν εὐμετάβλητόν τε καὶ ἀστάθμητον (οἷον ἐν τῷ διστίχῳ «'Ο Μάρτης ὁ *πεντάγνωμος* | πέντε φορὲς ἐχιόνισε | καὶ πάλιν τὸ μετάγνωσε | πῶς δὲν ἐξαναχιόνισε), ἐν 'Ηπείρῳ δὲ τὸν συνετώτατον. Οὐ δεῖ δὲ παραλιπεῖν καὶ τὰ *πεντέρημος* (=ὁ πάντ' ἔρημος) καὶ *πενταπλουμισμένος* ὁ πολυποίκιλός τε καὶ πάγκαλος («ἐπήραμε τὴν πέρδικα τὴν πενταπλουμισμένη | κ' ἀφήκαμε τὴ γειτονιὰ 'σὰν χώρα κουρσεμένη» γαμήλιον ᾆσμα ἐν Κρήτῃ) καὶ *πεντάκαλος* (ἐν 'Ηπείρῳ, ὁ κατὰ πάντ' ἀγαθός). Παρὰ *Passow* PCGR σελ. 498 εὕρηται καὶ ἐπίθετον *πεντοκάνουλος* («βρυσοῦλα *πεντοκάνουλη* νερό μου χαηδεμένο | ἀγγελικό μου πρόσωπο

---

[1]) Ἴδε καὶ *Φ. Κουκουλέν*, Παρατηρήσεις καὶ διορθώσεις εἰς 'Ελλην. Παπύρους, Ἀθήνησι, 1911, σελ. 17.—Ὑπομνηστέον ἐνταῦθα ὅτι τὸ *παντόμορφος* τοῦ Σοφοκλ. ἀποσπάσματος (τὰ χφα ἔχουσιν *παντάμορφος*) ἀναφέρεται εἰς τὴν Θέτιν, ἣ διωκομένη ὑπὸ τοῦ Πηλέως μετέβαλλε τὰς μορφάς, ὁτὲ μὲν εἰς πῦρ, ὁτὲ δὲ εἰς θηρία (Σχολ. Πινδ. Νεμ. Γ' 60). — Ἐν Ἄνδρῳ λέγεται *ἑφτάμορφος*=πεντάμορφος.

πῶς εἶσαι πικραμένος;»), τ. ἔ. ὁ ἔχων πέντε «κάννουλες», καλαμίνους «κρουνοὺς» οἱονεὶ πεντάκρουνος[1]. Ὑπομιμνήσκει δὲ τοῦτο ἡμᾶς τὸ ἀρχαῖον ἐκεῖνο Ἐννεάκρουνος περὶ οὗ ἴδε Pauly-Wissowa-Kroll τόμ. Γ' στήλ. 1669 ἑξ. καὶ *Alb. Dieterich*, Kl. Schr. σελ. 353. Ἰδίας δ' ἄξιον μνείας ἐστὶν ὅτι τῷ ἀριθμητικῷ *πέντε* ἐχρῶντο οἱ παλαιοὶ εἰς δήλωσιν μικροῦ καὶ ἀορίστου πλήθους, ἔστι δ' ὅτε καὶ πράξεως ἐνίοτε ἢ καὶ πολλάκις ἐπαναλαμβανομένης. Ἐγένετο ἤδη ἀνωτέρω λόγος περὶ τοῦ Ἀριστοφανείου Εἰρ. 242 ἰὼ Πρασιαὶ τρισάθλιαι καὶ *πεντάκις* καὶ πολλοδεκάκις· καὶ ὁ Ἰσοκράτης δ' ὁμοίως ἐν Φιλίππῳ 5 συμβουλεύει τῇ αὑτοῦ πόλει φεύγειν τοιαύτας ἀποικίας (οἵα ἡ Ἀμφίπολις) «αἵτινες τετράκις καὶ πεντάκις ἀπολωλέκασι τοὺς ἐμπολιτευθέντας». Λίαν δὲ τῷ προκειμένῳ πρόσφορόν ἐστι τὸ παρὰ Ἡρώνδᾳ (Προκυκλ. ἢ Μαστροπ. 9 ἑξ.) ὑπὸ τῆς Μητρίχης πρὸς τὴν Γυλλίδα λεγόμενον «τί σὺ θεὸς πρὸς ἀνθρώπους; | ἤδη γάρ εἰσι *πέντε* κου δοκέω μῆνες, | ἐξ οὗ σε, Γυλλίς, οὐδ' ὄναρ, μὰ τὰς Μοίρας | πρὸς τὴν θύρην ἐλθοῦσαν εἶδέ τις ταύτην» ἔνθα ἐν τῇ νῦν λαλουμένῃ Ἑλληνικῇ γλώσσῃ «ἓξ μῆνες» ἂν εἴποις. Παρὰ τῷ Μενάνδρῳ (Ἐπιτρεπ. 202) ὁ Ὀνήσιμος λέγει ὅτι ὥρμηκε πλεῖν ἢ πεντάκις τὸν δακτύλιον δεῖξαι τῷ δεσπότῃ τ. ἔ. πολλάκις. Πολυπαθὲς δ' ἐστι τὸ τοῦ Ἀποστόλου Παύλου χωρίον πρὸς Κορινθ. Α 14,19 «ἐν ἐκκλησίᾳ θέλω *πέντε* (=ὀλίγους) λόγους τῷ νοΐ μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ μυρίους λόγους ἐν γλώσσῃ». Ἁπλῶς δ' ἐπιτείνει τὸ *πέντε* ἐν τοιούτοις χωρίοις οἷα τὰ τῆς Παλατ. Ἀνθολ. ΙΑ' 320,2 «ὁ τλήμων Ἴρου πέντε πενιχρότερος» καὶ ἔνθ. ἀν. 207 περὶ πεινῶντος ὃς ἐσθίει «ὅσα πέντε λύκοι». Πλείω τῆς σημασίας ταύτης παρέχει ἡ ἐν τῇ τῶν Ῥωμαίων Γραμματείᾳ

[1] Τὰ περὶ τὸ ***πεντάνευρον*** ἢ ***πεντανεύρι*** (*Plantago major* L., Γερμ. Wegerich) ἰδ. παρὰ ***Χελδράϊχ-Μηλιαράκη***, Τὰ δημώδη ὀνόματα τῶν φυτῶν, σ. 76, καὶ πρβλ. ***Κοραῆν***, ἐν Ἀτάκτ. Δ' 406 ἔνθα πλὴν ἄλλων σημειοῦται ὁ ἀοίδιμος ἀνὴρ ὅτι τὸ μεῖζον (πεντάνευρον) ὀνομάσθη καὶ ***πολύνευρον*** καὶ ***πεντάπλευρον*** (plantain commun ἢ grand plantain), διότι ἀληθῶς φέρει φύλλα χαραγμένα μὲ ἑπτὰ νευροειδεῖς χαραγάς» — Περὶ προθεσμιῶν πέντε ἡμερῶν, πέντε ἐτῶν κτλ. παρ' Ἕλλησιν ἰδ. ***Roscher***, Siebenzahl σελ. 101 ἑξ. Ἐλέχθη δ' ἐν τῇ νεωτέρᾳ Ποντικῇ διαλέκτῳ καὶ ***πεντικός*** ἀντὶ ***ποντικός*** κατὰ παρετυμολογίαν, περὶ οὗ ἴδε ***Δημ. Οἰκονομίδην*** ἐν Λεξικογραφ. Ἀρχείῳ τόμ. Ε' (1920) σελ. 199.

χρῆσις τοῦ quinque, μάλιστα δ' ἐν τῇ Σατίρᾳ, τῇ ἐνκαμενιζούσῃ τῇ τοῦ λαοῦ γλώσσῃ [1].

## Γ' Ο ΑΡΙΘΜΟΣ ΕΠΤΑ ΕΝ ΤΗ ΛΑΤΡΕΙΑ ΚΑΙ Η ΓΝΩΣΙΣ ΑΥΤΟΥ ΕΝ ΕΛΛΑΔΙ. ΑΙΤΙΑ ΤΗΣ ΙΕΡΟΤΗΤΟΣ ΑΥΤΟΥ.

Περὶ τοῦ ἀριθμοῦ **ἑπτὰ** ἐν τῷ μύθῳ καὶ ἐν τῇ λατρείᾳ τῶν Ἑλλήνων διέλαβεν οὐ πρὸ πολλῶν ἐτῶν καὶ μάλα εἰδότως καὶ σαφῶς καὶ μετὰ μεγάλης πολυμαθίας, μετερχόμενος καὶ διὰ σπουδῆς ἔχων ταύτας τὰς ἀπὸ πολλοῦ εὐδοκίμως ἀρξαμένας θρησκευτικὰς ἅμα τε καὶ ἱστορικὰς αὐτοῦ μελέτας ὁ *W. H. Roscher*, ἀνὴρ λογιώτατος, ἐν δυσὶ μάλιστα πραγματείαις ἐπιγραφομέναις «Zur Bedeutung der Siebenzahl im Kultus und Mythus der Griechen» ἐν τῷ περιοδικῷ συγγράμματι Philologus τόμ. Ξ' (1901) σελ. 360-371 [2] καὶ Die enneadischen und hebdomadischen Fristen und Wochen der ältesten Griechen» ἐν ταῖς «Abhandlungen» κτλ. τόμ. ΚΑ' (1903) σελ. 1-92 [3]. Ταύτας οὖν τὰς ἐπ' ἄλλο

---

[1]) Ἰδὲ περὶ τούτου καὶ τῶν προειρημένων *Th. Birt*, ἐν Rh. Mus. Ο' (1915) σελ. 255 ἑξ. καὶ *Friedländer* εἰς Ἰουβεναλ. Σατ. Δ', 11, 206. Καλὸν δ' ἡγοῦμαι παραθέσθαι ἁπλῶς τινα χωρία ἐνταῦθα. *Ὁρατ.* Σατ. **Α'** 3,46 **quinque diebus nil erat in loculis.** Επ. **Α' 7, 1 quinque dies tibi pollicitus me rure futurum** κτλ. Σατ. Β' 3, 289 **mater ait pueri mensês iam quinque cubantis.** Σατ. Α' 6,108 **praetorem quinque sequuntur te pueri** («μερικοί»). Ἀλλ' ἐν Ἐπιστ. Α' 6,43 **quinque milia chlamydum** = πολλαί (παρὰ *Πλουτ.* Λουκ. 39 τοῦ δ ἑκατὸν ἀρκέσειν φήσαντος ἐκέλευσε λαβεῖν *δὶς* τοσαύτας). ***Martial.*** **Α'** 26,1. Η' 67,1. ΙΑ' **107,4,** κτλ. ***Gaius* Digg. B' 11,8 post tres aut quinque pluresve dies. Script. Hist. Aug. Hadr. 22, 14 quando in Africam venit** (ὁ Ἀδριανός), **ad adventum eius post quinquennium (!) pluit.**

[2]) Αὕτη ἡ μελέτη ἐξεδόθη πολλῷ πληρέστερον καὶ ἀκριβέστερον ἐν ταῖς **«Abhandlungen der Königl. Sächsischen Gesellschaft der Wissenschaften», Phil.-hist. Classe,** τόμ. **ΚΔ' (1904)** σελ. **1-126,** ἐπιγέγραπται δὲ **«Die Sieben- und Neunzahl im Kultus und Mythus der Griechen».**

[3] Ἄλλας τινὰς τοῦ λογίου ἀνδρὸς ἐργασίας συγγενεῖς πρὸς τὸ ἡμέτερον θέμα ἰδ. ἐν τῇ Βιβλιογραφίᾳ, πρβλ. περὶ πασῶν τούτων τῶν ἐργασιῶν βραχεῖαν κρίσιν ὑπὸ *Ν. Γ. Πολίτου* ἐν «Λαογραφίας» Γ' 336-338 καὶ κρίσιν περὶ τοῦ Ἱπποκρατείου ἔργου διὰ μακροτέρων ὑπὸ ***H. Diels*** ἐν **Deutsche Literaturzeitung,** 29 Ἰουλίου 1911 (στήλ. 1861-66). Παλαιότεραι ὁμοίως καὶ αἱ ἑξῆς ἐργασίαι του **Roscher** ἐν **Philologus** 1900, σελ. 21 ἑξ. καὶ 1902, σελ. 513 ἑξ., **Hermes** 1904 σελ. 150: **Archiv für Religionswiss.** ΣΓ'. 61 ἑξ. καὶ τὰ ἐν τῷ Μυθολογ. αὐτοῦ Λεξικῷ συγγενῆ ἄρθρα.

Εργ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006